βολβαρίου καὶ κοχλιδίου γυναικάριον καὶ παιδίον, οὐδὲν κωλύσει· ἐὰν δὲ ὁ κυβερνήτης καλέσῃ, τρέχε ἐπὶ τὸ πλοῖον ἀφεὶς ἐκεῖνα ἅπαντα μηδὲ ἐπιστρεφόμενος. ἐὰν δὲ γέρων ᾖς, μηδὲ ἀπαλλαγῇς ποτε τοῦ πλοίου μακράν, μή ποτε καλοῦντος ἐλλίπῃς.

**c. 8.** [b]Μὴ ζήτει τὰ γινόμενα γίνεσθαι ὡς θέλεις, ἀλλὰ θέλε τὰ γινόμενα ὡς γίνεται καὶ εὐροήσεις.[c]

**c. 9.** Νόσος σώματός ἐστιν ἐμπόδιον, προαιρέσεως δὲ οὔ, ἐὰν μὴ αὐτὴ θέλῃ.[d] χώλανσις σκέλους ἐστὶν ἐμπόδιον, προαιρέσεως δὲ οὔ.[e] καὶ τοῦτο ἐφ᾽ ἑκάστου τῶν ἐμπιπτόντων ἐπίλεγε·[f] εὑρήσεις γὰρ αὐτὸ ἄλλου τινὸς ἐμπόδιον, σὸν δὲ οὔ.[g]

---

**c. 8.** [bc]II, 14, 7 (cf. I, 12, 15)
**c. 9.** [de]cf. I. 18, 17 — [fg]I, 1, 28

---

8 βολβοῦ καὶ κοχλίου *Stob.* ‖ ἢ παιδίον *C nonn.* ‖ 9 τρέχειν *A nonn. (V)* ‖ 10 πάντα *B′ et C un. (v); om. C un. (Nil.); om. Stob.* ‖ 11 ἧς γέρων *Stob.* ‖ ἦ *A nonn. (V)*; εἶ *B* ‖ μηδὲ *Nil., Par., Stob., Simpl.*: μηδὲν *Ench.* ‖ ἀποχώρει *Stob.*; ἀπολείπῃ *A un.* ‖ ποτε *ante* τοῦ *om. A nonn. (V); Stob.* ‖ 12 καλούμενος *C un. (?; Nil., Par., Simpl.)* ‖ ἐλλίπῃς ⟨καὶ δεδεμένος βληθήσῃ (*vel* βληθῇς). ὁ γὰρ ἑκὼν μὴ ἑπόμενος (ἄκων *add. C un.*) ἀνάγκῃ τοῦτο πείσεται.⟩ *C nonn. (Nili codd. Haf. et Paris.; Par.)*

**c. 8.** *Stob. ecl. II, 8, 23; flor.* ΑΡΙΣΤΟΝ ΚΑΙ ΠΡΩΤΟΝ ΜΑΘΗΜΑ *(a me ed. in Stud. Vind. XI, 25) ecl. 83* ‖ 1 ⟨τὸ⟩ τὰ *Stob. ed. Cant.* ‖ γίνεσθαι τὰ γινόμενα *flor.* ‖ γιγνόμενα γίγνεσθαι *et* (2) γίγνεται *Stob.* ‖ 2 θέλειν *B* ‖ ὡς *post* θέλε *pon. Stob., flor. (in quo* ὡς ⟨ἂν⟩ - - γίνηται *legitur, praeter cod. Heidelberg., qui cum Ench. consentit)* ‖ γινόμενα ⟨γίνεσθαι⟩ *C un. (Nili ed. Rom., Par.; post* γίνεται *pon. Nili codd.)* ‖ γίνονται *flor. cod. Heidelberg.* ‖ καὶ εὐροήσεις *om. flor.* ‖ εὑρήσεις *Stob.*; εὖ ποιήσεις *B et CD sing.* (*v*; εὐδαιμονήσεις *Nil.*; ἀλύπως διάξεις *Par.*;)

**c. 9.** *Stob. ecl. II, 8, 22, ubi exciderunt verba* (3) προαιρέσεως — (4) ἐμπόδιον ‖ 1 προαίρεσις *A nonn. (V)* ‖ προαιρέσεως δὲ ⟨δόξα⟩, οὗ ἐὰν μὴ *BD sing.* ‖ 2 οὐκ ⟨ἐστιν⟩ *Stob.* ‖ χώλωσις *BCD sing. (Nil., Par.); Stob.* ‖ 3 ἑκάστῳ *A (Par.)* ‖ 5 σῶν *Stob.*



**c. 10.** [g]Ἐφ᾽ ἑκάστου τῶν προσπιπτόντων μέμνησο ἐπιστρέφων ἐπὶ σεαυτὸν ζητεῖν, τίνα δύναμιν ἔχεις πρὸς τὴν χρῆσιν αὐτοῦ.[h] ἐὰν καλὸν ἴδῃς ἢ καλήν,[i] εὑρήσεις δύναμιν πρὸς ταῦτα ἐγκράτειαν· ἐὰν πόνος προσφέρηται, εὑρήσεις[k] καρτερίαν·[l] ἂν λοιδορία, εὑρήσεις ἀνεξικακίαν.[m] καὶ οὕτως ἐθιζόμενόν σε οὐ συναρπάσουσιν αἱ φαντασίαι.[n]

**c. 11.** Μηδέποτε ἐπὶ μηδενὸς εἴπῃς ὅτι ‘ἀπώλεσα αὐτό’, ἀλλ᾽ ὅτι ‘ἀπέδωκα’. τὸ παιδίον ἀπέθανεν; ἀπεδόθη. ἡ γυνὴ ἀπέθανεν; ἀπεδόθη. ‘τὸ χωρίον ἀφῃρέθην.’ οὐκοῦν καὶ τοῦτο ἀπεδόθη. ‘ἀλλὰ κακὸς ὁ ἀφελόμενος.’[o] τί δὲ σοὶ μέλει, διὰ τίνος σε ὁ δοὺς ἀπῄτησε;[p] μέχρι δ᾽ ἂν διδῷ, ὡς ἀλλοτρίου αὐτοῦ ἐπιμελοῦ,[q] ὡς τοῦ πανδοχείου οἱ παριόντες.[r]

**c. 12.** [r]Εἰ προκόψαι θέλεις, ἄφες τοὺς τοιούτους ἐπι- 1
λογισμούς.[s] ‘ἐὰν ἀμελήσω τῶν ἐμῶν, οὐχ ἕξω διατροφάς’.[t] ‘ἐὰν
μὴ κολάσω τὸν παῖδα, πονηρὸς ἔσται.’[u] κρεῖσσον γὰρ λιμῷ
ἀποθανεῖν[v] ἄλυπον καὶ ἄφοβον γενόμενον[w] ἢ ζῆν ἐν ἀφθόνοις
ταρασσόμενον.[x] κρεῖττον δὲ τὸν παῖδα κακὸν εἶναι ἢ σὲ
κακοδαίμονα.[y] ἄρξαι τοιγαροῦν ἀπὸ τῶν σμικρῶν.[z] ἐκχεῖται τὸ 2

---

**c. 10.** [gh]cf. I, 6, 28 — [hi]cf. II, 18, 15 (III, 3, 14) — [kl]cf. I, 6, 28; II, 16, 14 — [mn]II, 18, 24
**c. 11.** [op]cf. IV, 1, 101, 172 — [qr]cf. II, 23, C 6 (I, 24, 14)
**c. 12, s. 1.** cf. omnino III. 26 — [st, uv]IV, 10, 26 sq. (III, 26, 29; I, 9, 8) — [uv, wx]cf. fragm. XXXII — [vw]cf. IV, 6, 16; III, 22, 48 — **s. 2.** [yz]I, 18, 18 — [zb]IV, 10, 26 — [za]IV, 1, 141

---

**c. 10.** 1 ἑκάστῳ *AC sing. (Par.)* ‖ 2 πρὸς ἑαυτὸν *A et C un.* ‖ 5 ἐὰν *A nonn.* ‖ λοιδορίαν *BC sing. (Nil.)*

**c. 11.** *Stob. flor. 108, 79; cf. Hierocles in Pyth. carm. aur. p. 84 ed. Needh.* *SMA* ‖ 2 ἡ γυνὴ — (3) ἀπεδόθη *om. B et C nonn. (Par.)*; ἡ — (4) ἀφελόμενος *Stob.* ‖ 3 ἀφῃρέθη *BC (Nil.)*, ‖ 4 δαί (δέ *A*) μοι *Stob.* ‖ διὰ τί σε *A nonn. (V)*, διὰ τί *Stob.*; διότι σε *B (cod. Med. Par.*; διότι *Nil.)* ‖ 5 διδῶται *C nonn. (Nil., Simpl. et sim. Par.)*; δίδωται *Stob. (qui reliqua sic contra hit:* ἐπιμελοῦμαι ὡς τοῦ πανδοκίου) ‖ ἀλλοτρίων αὐτῶν *C un. (Nil., Par.)*

**c. 12, s. 1.** 1 διαλογισμούς *B et C nonn., D un.* (λογισμούς *Par.)* ‖ 3 γάρ ⟨ἐστιν⟩ *C nonn. et A un. (V; Nil., Par.)* ‖ **s. 2.** *Stob. flor. 19, 15 (Br ex Arr. interpolatus)* *SMABr* ‖ ⟨ἀλλὰ κτήσασθαι θέλεις καὶ οἷος εἶ μακροθυμεῖν⟩ ἄρξαι *Par.* ‖ 6 τοιγαροῦν] οὖν *Stob.* ‖ μικρῶν *B et C un. (Nil.); Stob.*

ἐλάδιον, κλέπτεται τὸ οἰνάριον· [a] ἐπίλεγε ὅτι ʻτοσούτου πωλεῖται ἀπάθεια, τοσούτου ἀταραξία' · [b] προῖκα δὲ οὐδὲν περιγίνεται. [c] ὅταν δὲ καλῇς τὸν παῖδα, ἐνθυμοῦ, ὅτι δύναται μὴ ὑπακοῦσαι καὶ ὑπακούσας μηδὲν ποιῆσαι ὧν θέλεις· [d] ἀλλ' οὐχ οὕτως ἐστὶν αὐτῷ καλῶς, ἵνα ἐπ' ἐκείνῳ ᾖ τὸ σὲ μὴ ταραχθῆναι.[e]

**c. 13.** [e] Εἰ προκόψαι θέλεις, ὑπόμεινον ἕνεκα τῶν ἐκτὸς ἀνόητος δόξας καὶ ἠλίθιος, [f] μηδὲν βούλου δοκεῖν ἐπίστασθαι· [g] κἂν δόξῃς τις εἶναί τισιν, ἀπίστει σεαυτῷ. [h] ἴσθι γαρ ὅτι οὐ ῥάδιον [i] τὴν προαίρεσιν τὴν σεαυτοῦ κατὰ φύσιν ἔχουσαν φυλάξαι [k] καὶ τὰ ἐκτός, ἀλλὰ τοῦ ἑτέρου ἐπιμελούμενον τοῦ ἑτέρου ἀμελῆσαι πᾶσα ἀνάγκη.[l]

1 **c. 14.** [l] Ἐὰν θέλῃς τὰ τέκνα σου καὶ τὴν γυναῖκα καὶ τοὺς φίλους σου πάντοτε ζῆν, ἠλίθιος εἶ· [m] τὰ γὰρ μὴ ἐπὶ σοὶ θέλεις ἐπὶ σοὶ εἶναι καὶ τὰ ἀλλότρια σὰ εἶναι. [n] οὕτω κἂν τὸν

---

[ab] IV, 3, 7,8 — [bc] IV, 10, 19; IV, 2, 2 — [cd] I, 13, 2
**c. 13.** [ef] cf. I, 22, 18 et Ench. c. 48, 2 — [eh] II, 1, 36 — [gh] cf. gnomol. Stob. 3 — [hl] cf. II, 2, 10 sqq.; IV, 10, 25; IV, 2, 6 — [ik] cf. quae adn. ad c. 4 ([mn]); gnomol. Stob. 10
**c. 14, s. 1.** [ln] IV, 1, 67, 107; cf. III, 24, 87 — [mo] IV, 5, 7

---

7 ἔλαιον *Stob.* ‖ λέγε *Stob.* ‖ τοσοῦδε *Stob.* ‖ 8 εὐπάθεια *B et C un.* ‖ δὲ *om. Stob.* (οὐδὲν) ‖ παραγίνεται *A (Br Stob.) et C nonn. (Simpl.)*; γίνεται *Stob.* ‖ 9 ἐνθυμοῦ] προεπινόει *Stob. (Simpl.)* ‖ ⟨καὶ⟩ μὴ *C un.; Stob.* ‖ 10 καὶ] ἢ *C un. (Nil., Par.)*; ἢ ⟨καὶ⟩ *C al.* ‖ ὑπακούσας *om. Stob.* ‖ ἀλλ'] καὶ *B (v; Simpl.)* ‖ 11 καλῶς, ⟨ὅλως δὲ σοὶ καλῶς⟩ *A et C un. (in quo tamen* ἵνα ⟨μὴ⟩ *leg.)*; καλῶς *om. Stob.* ‖ ἐπ'] ἐν *Stob.* ‖ σὲ μὴ] ἐμὲ *Stob. (Simpl.)* ‖ μὴ *om. AC sing (v; Par.)*
**c. 13.** 1 τοῦ *B et D un. (v)* ‖ 2 ἄνους *B et C nonn. (v)* ‖ δόξαι *iid. (Nil., Par.)* ‖ 3 τισὶν · εἶναί τις *A nonn., C (V, v; Par., in qua* τι *pro* τις, *ut in A un.)* ‖ ὅτι] ὡς *A un. (V)* ‖ 4 τὴν προαίρεσιν αὐτοῦ *A un. (V;* τὴν σεαυτοῦ προαίρεσιν *Nil.)* ‖ 5 καὶ τοῖς ἐκτὸς ἀρέσκειν, ἀλλ' ἀνάγκη τοῦ ἑτέρου ἀμελῆσαι *C un. in marg, (Par.)* ‖ ἀλλὰ τὸν ἑτέρου *B et A nonn. (v.)*; ἀλλὰ τὸν τοῦ ἑτέρου *C un.*
**c. 14, s. 1.** 1 Ἂν *B et C un. (v; Nil.)* ‖ 2 σου πάντοτε *om. A nonn. (V) et C un.* (σου *om. Nil., praeter cod. Hafn., Par.)* ‖ 3 ⟨εἰ⟩ θέλεις *B omissis verbis* οὕτω — (4) ἁμαρτάνειν



παῖδα θέλῃς μὴ ἁμαρτάνειν, μωρὸς εἶ· [o] θέλεις γὰρ τὴν κακίαν μὴ εἶναι κακίαν, ἀλλ' ἄλλο τι. [p] ἐὰν δὲ θέλῃς ὀρεγόμενος μὴ ἀποτυγχάνειν, τοῦτο δύνασαι. [q] τοῦτο οὖν ἄσκει,
ὃ δύνασαι. [r] κύριος ἑκάστου ἐστὶν ὁ τῶν ὑπ' ἐκείνου θελο- 2
μένων ἢ μὴ θελομένων ἔχων τὴν ἐξουσίαν εἰς τὸ περιποιῆσαι ἢ ἀφελέσθαι. [s] ὅστις οὖν ἐλεύθερος εἶναι βούλεται, [t] μήτε θελέτω τι μήτε φευγέτω τι τῶν ἐπ' ἄλλοις· εἰ δὲ μή, δουλεύειν ἀνάγκη.[u]

**c. 15.** [u] Μέμνησο, ὅτι ὡς ἐν συμποσίῳ σε δεῖ ἀναστρέφεσθαι. περιφερόμενον γέγονέ τι κατὰ σέ· ἐκτείνας τὴν χεῖρα κοσμίως μετάλαβε. παρέρχεται· μὴ κάτεχε. οὔπω ἥκει· μὴ ἐπίβαλλε πόρρω τὴν ὄρεξιν, ἀλλὰ περίμενε, μέχρις ἂν γένηται κατὰ σέ. οὕτω πρὸς τέκνα, οὕτω πρὸς γυναῖκα, οὕτω πρὸς ἀρχάς, οὕτω πρὸς πλοῦτον· καὶ ἔσῃ ποτὲ ἄξιος τῶν θεῶν συμπότης.[v] ἂν δὲ καὶ παρατεθέντων σοι μὴ λάβῃς, ἀλλ' ὑπερίδῃς, τότε οὐ μόνον συμπότης τῶν θεῶν ἔσῃ, ἀλλὰ καὶ συνάρχων. οὕτω γὰρ ποιῶν Διογένης καὶ Ἡράκλειτος καὶ οἱ ὅμοιοι ἀξίως [v'] θεῖοί τε ἦσαν καὶ ἐλέγοντο[w].

---

[pq] II, 2, 4; IV, 1, 75 — **s. 2.** [rs] II, 2, 26 — [su] IV, 1, 77 — [tu] cf. II, 2, 12, 25 [— [v'w] cf. II, 16, 44
**c. 15.** [uv] cf. omnino II, 4, 8 et fragm. XVII (Ench. c. 36)

---

5 δὲ *om. A un. (Par.)* ‖ 6 τοῦτο ⟨οὐ⟩ *A* ‖ τοῦτο οὖν — (7) δύνασαι *(quae verba prorsus immutata sint in Par.) om. C un.* ‖ **s. 2.** 8 τὴν *om. A et D un. (Nili ed. Rom.)* ‖ 10 τι *(post* φευγέτω *om. AC sing. (post* θελέτω*) om. Nil., Par.)*
**c. 15.** — (6) συμπότης. *Stob. flor. 5, 75 (5, 20 H.; LBr* MALBrTr
*ex Arr. interpol.)* ‖ 1 Μέμνησο, ὅτι ὡς *om. Stob. (add.* οὕτω *ante* σε*)* ‖ ὡς *om. A nonn. (V) et D un.* (ὅτι *om Nili cod. Par.)* ‖ σε *post* δεῖ *coll. vel. om. C nonn.* ‖ 2 περιφερόμενόν τι γέγονε *C un. (Nil.); Stob. (praeter Br.)* ‖ 3 κοσμίως μετάλαβε] μετρίως ἔφαψαι *Stob. (praeter LBr)* ‖ ἥκει] ἐλήλυθε *Stob.* ‖ ἐπίβαλε *AB sing. (Nili ed. Rom.; L Stob.)* ‖ 4 ἀλλὰ — (6) συμπότης *sic immutata exhibet Stob.:* ἀλλ' ἐκδέχου κατὰ σὲ γενέσθαι αὐτό. οὕτω πρὸς πλοῦτον, οὕτω πρὸς ἀρχάς, οὕτω πρὸς γάμον· καὶ ἔσῃ ἄξιος συμπότης τῶν θεῶν. *reliqua add. LBr ex Arr.* ‖ μέχρι *B (v)* ‖ 6 ἔσῃ] ἐποίησε *B (praeter ed. Hal.)* ‖ 7 λάβῃ *vel* λάβοι *B (praeter ed. Hal.)* ‖ ἀλλὰ ⟨καὶ⟩ *A nonn. (V) et C un.* ‖ 9 ποιῶν ⟨καὶ⟩ *L Stob.* ‖ Ἡρακλήτης *B (praeter ed. Hal.)* ‖ 10 τε *Stob.:* ἦσαν *om. B (praeter ed. Hal.)*